[illegible]

ἔστιν ὡς ὁ μὲν Η πρὸς [illegible] οὕτως ὁ [illegible] πρὸς τὸν Ζ, οὕτως ὁ Δ πρὸς τὸν [illegible]· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

κα Οἱ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα. ἔστωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α Β οἱ ΓΔ ΕΖ· λέγω ὅτι ἰσάκις ὁ ΓΔ τὸν Α μετρεῖ καὶ ὁ ΕΖ τὸν Β· ὁ ΓΔ γὰρ τοῦ Α οὐκ ἔστιν μέρη· εἰ γὰρ δυνατόν ἔστω· καὶ ὁ ΕΖ ἄρα τοῦ Β τὰ αὐτὰ μέρη ἐστὶν ἅπερ ὁ ΓΔ τοῦ Α· ὅσα ἄρα ἐστὶν ἐν τῷ ΓΔ μέρη τοῦ Α, τοσαῦτά ἐστιν καὶ ἐν τῷ ΕΖ μέρη τοῦ Β· διῃρήσθω ὁ μὲν ΓΔ εἰς τὰ τοῦ Α μέρη τὰ ΓΗ ΗΔ· ὁ δὲ ΕΖ εἰς τὰ τοῦ Β μέρη τὰ ΕΘ ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΓΗ ΗΔ τῷ πλήθει τῶν ΕΘ ΘΖ· καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΓΗ ΗΔ ἀριθμοὶ ἀλλήλοις· εἰσὶ δὲ καὶ οἱ ΕΘ ΘΖ ἀριθμοὶ ἴσοι ἀλλήλοις· καί ἐστιν ἴσον τὸ πλῆθος τῶν ΓΗ ΗΔ τῷ πλήθει τῶν ΕΘ ΘΖ· ἔστιν ἄρα ὡς ὁ ΓΗ πρὸς τὸν ΕΘ, οὕτως ὁ ΗΔ πρὸς τὸν ΘΖ· ἔσται ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ὁ ΓΗ πρὸς τὸν ΕΘ, οὕτως ὁ ΓΔ πρὸς τὸν ΕΖ· οἱ ΓΗ ΕΘ ἄρα τοῖς ΓΔ ΕΖ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶν ἐλάσσονες ὄντες αὐτῶν· ὅπερ ἀδύνατον· ὑπόκεινται γὰρ οἱ ΓΔ ΕΖ ἐλάχιστοι [illegible]

ιβ

[illegible]





αὐτὸν λόγον ἐχόντων αὐτοῖς· οὐκ ἄρα μέρη ἐστὶν [illegible] τοῦ Α· μέρος ἄρα· καὶ ὁ ΕΖ ἄρα τοῦ Β τὸ αὐτὸ μέρος ἐστὶν ὅπερ ὁ ΓΔ τοῦ Α· [illegible] καὶ ὁ ΕΖ τοῦ Β· ὅπερ ἔδει δεῖξαι.

κβ Ἐὰν ὦσι τρεῖς ἀριθμοὶ [illegible] αὐτοῖς ἴσοι τὸ πλῆθος [illegible] ἐν τῷ αὐτῷ λόγῳ· ᾖ δὲ σύνδυο λαμβανόμενοι [illegible] ἡ ἀναλογία· καὶ δι' ἴσου αὐτοῖς [illegible] ἀριθμοὶ οἱ Α Β Γ καὶ [illegible] ἔστωσαν [illegible] σύνδυο λαμβανόμενοι αὐτοῖς [illegible] ἴσοι τὸ πλῆθος [illegible] τεταραγμένη αὐτῶν ἀναλογία [illegible] ὡς μὲν ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ· ὡς δὲ [illegible] πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε· λέγω ὅτι καὶ δι' ἴσου ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ζ· ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ε πρὸς τὸν Ζ· ὁ ἄρα ἐκ τῶν ΑΖ ἴσος ἐστὶ τῷ ἐκ τῶν [illegible] ΒΕ· πάλιν ἐπεί ἐστιν ὡς ὁ Β [illegible] οὕτως ὁ Δ πρὸς [illegible] ἐκ τῶν ΓΔ ἴσος [illegible] ΒΕ· ἐδείχθη [illegible] ἴσος τῷ [illegible] ΑΖ [illegible] οὕτως [illegible]

ἐκ τοῦ ιθ τοῦ ζ



BIBL. BODLEIANA

ἐκ τοῦ ρ τοῦ γ
ἐκ τοῦ ιθ τοῦ ζ

κγ Οἱ [illegible] πρὸς [illegible] ἀριθμοὶ ἐλάχιστοί εἰσιν